καίῳ. ὅτι δὲ οὐ πάντα τῷ αὐτῷ ἀποδοτέον, οὐκ
ἄδηλον. καὶ τὰς μὲν εὐεργεσίας ἀνταποδοτέον
ὡς ἐπὶ τὸ πολὺ μᾶλλον, ἢ χαριστέον ἑταίροις· καὶ
ὥσπερ δάνειον, ᾧ ὀφείλει ἀποδοτέον μᾶλλον,
ἢ ἑταίρῳ δοτέον. ἴσως δ' οὐ τοῦτο ἀεί, οἷον τῷ
λυτρωθέντι παρὰ λῃστῶν, πότερον τὸν λυ-
σάμενον ἀντιλυτρωτέον, κἂν ὁστισοῦν ᾖ, ἢ καὶ
μὴ ἑαλωκότι, ἀπαιτοῦντι δὲ ἀποδοτέον, ἢ
τὸν πατέρα λυτρωτέον· δόξειε γὰρ ἂν καὶ
ἑαυτοῦ μᾶλλον τὸν πατέρα. ὅπερ οὖν εἴρηται,
καθόλου μὲν τὸ ὀφείλημα ἀποδοτέον. ἐὰν δὲ
ὑπερτείνῃ ἡ δόσις τῷ καλῷ, ἢ τῷ ἀναγκαίῳ,
πρὸς ταῦτ' ἀποκλιτέον· ἐνίοτε γὰρ οὐδ' ἐστὶν
ἴσον τὸ τὴν ἑτέρου προϋπαρχὴν ἀμείψα-
σθαι, ἐπειδὰν ὁ μὲν, σπουδαῖον εἰδὼς, εὖ ποιή-
σῃ· τῷ δὲ, ἡ ἀνταπόδοσις γίγνεται, ὃν οἴεται
μοχθηρὸν εἶναι· οὐδὲ γὰρ τῷ δανείσαντι ἐνίοτε
ἀντιδανειστέον· ὁ μὲν γὰρ, οἰόμενος κομιεῖσθαι,
ἐδάνεισεν ἐπιεικεῖ ὄντι. ὁ δ' οὐκ ἐλπίζει κο-
μιεῖσθαι παρὰ πονηροῦ. εἴτε τοίνυν τῇ ἀλη-
θείᾳ οὕτως ἔχει, οὐκ ἴσον τὸ ἀξίωμα· εἴτ', ἔ-
χει μὲν μὴ οὕτως, οἴονται δὲ, ἂν δόξειεν ἄτο-
πα ποιεῖν. ὅπερ οὖν πολλάκις εἴρηται, οἱ
περὶ τὰ πάθη καὶ τὰς πράξεις λόγοι ὁμοίως
ἔχουσι τὸ ὡρισμένον τοῖς περὶ ἅ εἰσιν. ὅτι μὲν
οὖν οὐ ταὐτὰ πᾶσιν ἀποδοτέον, οὐδὲ τῷ πα-
τρὶ πάντα, καθάπερ οὐδὲ τῷ Διὶ θύεται, οὐκ
ἄδηλον. ἐπεὶ δ' ἕτερα γονεῦσι, καὶ ἀδελφοῖς
καὶ ἑταίροις, καὶ εὐεργέταις, ἑκάστοις τὰ οἰ-
κεῖα καὶ τὰ ἁρμόττοντα ἀπονεμητέον. οὕτω
δὲ καὶ ποιεῖν φαίνονται· εἰς γάμους μὲν γὰρ
καλοῦσι τοὺς συγγενεῖς· τούτοις γὰρ κοινὸν τὸ
γένος, καὶ αἱ περὶ τοῦτο πράξεις. καὶ εἰς τὰ
κήδη δὲ μάλιστ' οἴονται δεῖν τοὺς συγγενεῖς
ἀπαντᾶν διὰ ταὐτό. δόξειε δ' ἂν, τροφῆς μὲν
γονεῦσι δεῖν μάλιστ' ἐπαρκεῖν, ὡς ὀφείλον-
τας, καὶ τοῖς αἰτίοις τοῦ εἶναι, κάλλιον ἢ ἑαυτοῖς
εἰς ταῦτ' ἐπαρκεῖν. καὶ τιμὴν δὲ καθάπερ
θεοῖς· οὐ πᾶσαν δὲ, γονεῦσιν· οὐδὲ γὰρ τὴν αὐ-
τὴν πατρὶ καὶ μητρί· οὐδ' αὖ τὴν τοῦ σο-
φοῦ, ἢ τοῦ στρατηγοῦ· ἀλλὰ τὴν πατρικὴν, ὁμοί-
ως δὲ καὶ μητρικήν. καὶ παντὶ δὲ τῷ πρεσβυ-
τέρῳ, τιμὴν τὴν καθ' ἡλικίαν, ὑπαναστά-
σει, καὶ κατακλίσει, καὶ τοῖς τοιούτοις. πρὸς
ἑταίρους δ' αὖ καὶ ἀδελφοὺς, παρρησίαν καὶ
ἁπάντων κοινότητα, καὶ συγγενέσι δὲ, καὶ φυ-

A illud tamen obſcurum non eſt: non o-
mnia eidem eſſe reddenda. Et beneficia
retribuenda, vt plurimum, magis ſunt,
quàm ſodali inſeruiendum: & ſicut mu-
tuum cui debet quiſpiam, reſtituendum
magis, quàm ſodali dandum. Sed fortaſſe
neque hocſemper: vt ſiquis redemptus à
latronibus fuerit, vtrum is viciſſim redi-
mere eum debet, qui liberarit, quicunque
ille ſit, an non capto quidem, ſed repeten-
B di reddere, an patrem redimere? redime-
re enim patrem magis etiã quàm ſeipſum
debere videretur. Quod igitur dictum eſt,
in vniuerſum debitum eſt reddendum:
ſed ſi datio honeſtate, aut neceſſitate ſu-
perexcedat, ad hæc eſt declinandum. In-
terdum enim neque æquum eſt, vt quod
prius alter contulit beneficium, rependa-
mus: cùm ille probum virum eſſe ſciens
benefecerit: ab hoc vero fiat retributio ei
quem prauum eſſe exiſtimat. nam neque
C ei, qui mutuauit, remutuandum eſt. ille e-
nim cùm putaret ſe recepturum eſſe, pro-
bo viro mutuauit: hic autem à prauo re-
cepturum ſe quippiam non ſperat. ſiue i-
gitur re vera ita res ſe habet, æqualis di-
gnitas minimè eſt. ſiue nõ ita quidem eſt,
ſed opinantur, non abſurdè facere viden-
tur. Veruntamen id quod ſæpe dictum
à nobis eſt, diſputationes de affectibus &
actionibus ita definitæ ac certæ ſunt, ſicut
D ea, circa quæ verſantur. Non omnia igitur
omnibus eſſe retribuenda, neque patri o-
mnia: quemadmodum neque Ioui omnia
ſacrificantur: obſcurum minimè eſt. quia
verò alia parentibus, & fratribus, & ſoda-
libus, & benemeritis reddenda ſunt: ſin-
gulis propria & accommodata ſunt attri-
buenda. Ita vero etiam facere videntur,
ad nuptias enim cognatos inuitant: his e-
nim commune genus eſt: atque idcirco a-
E ctiones quoque quæ circa id fiunt, com-
munes ſunt: ob eandem cauſam quoque
ad ſponſalia conuenire debere cognatos
maximè exiſtimant. Parentibus autem a-
limenta præcipuè ſuppeditanda eſſe vi-
derentur, vtpote cùm debeamus: cúmque
illis qui in cauſa ſunt, vt ſi nus, honeſtius
ſit, quàm nobis ipſis in his opem ferre. ho-
nor quoque parentibus quemadmodum
Dijs, exhibendus eſt: non omnis tamen
F parentibus. neque enim idé patri & ma-
tri: neque his qui conuenit ſapienti, aut
duc., ſed paternus: & ſimili modo mater-
nus. Omni item ſeniori honor pro ætate
reddendus eſt, aſſurgendo, & ſeſſio-
ne cedendo, atque huiuſmod cæteris. Sodalibus autem & fratribus loquutio
libera, omniúmque communitas exhibenda eſt. Cognatis itaque & tribulibus